eul_wid: ihu-aa

*Ἀπολλόδωρος ὁ Καρύστιος* · Apollodorus of Carystus II

# Fragments on Life and Old Age

*Ἀποσπάσματα περὶ Βίου καὶ Γήρως*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Ἀττική* Attic (com, frg)
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1 ἀπραγμόνως ζῆν ἡδύ· μακάριος βίος καὶ σεμνός, ἂν ᾖ μεθ' ἑτέρων ἀπραγμόνων ἐν θηρίοις δὲ καὶ πιθήκοις ὄντα δεῖ εἶναι πίθηκον· ὢ ταλαιπώρου βίου.

book 2 . . στρατιώτην ἔργον ἄχρι γήρως λαβεῖν ἔστιν διηυτυχηκότ', ἂν μὴ δειλὸς ᾖ.

book 3.1 τοῖς γὰρ μεριμνῶσίν

book 3.2 τε καὶ λυπουμένοις ἅπασα νὺξ ἔοικε

book 3.3 φαίνεσθαι μακρά.

book 4.1 ὅτε μειράκιον ἦν, τοὺς ἀώρους ἠλέουν, νυνὶ δ' ὅταν γέροντος ἐκφορὰν ἴδω, κλάω· πρὸς ἐμὲ γάρ ἐστι

book 4.2 τοῦτ', ἐκεῖνο δ' οὔ.

book 5 καθίσω

book 6 οὐ πανταχοῦ Φρύξ εἰμι· τοῦ ζῆν ἢν ὁρῶ κρεῖττον τὸ μὴ ζῆν, χρήσομαι τῷ κρείττονι.

book 7.1 μὴ καταφρόνει, Φιλῖν', ἐθῶν γεροντικῶν, οἷς ἔνοχος, εἰς τὸ γῆρας ἂν ἔλθῃς, ἔσει. ἀλλὰ μέγα

book 7.2 τοῦθ' οἱ πατέρες ἠλαττώμεθα· ὑμεῖς μὲν ὠνειδίσατ', ἐάν

book 7.3 τι μὴ ποιῇ[ln_5]ὁ πατὴρ

book 7.4 προθύμως, 'οὐ γέγονας αὐτὸς νέος;' τῷ δὲ πατρὶ πρὸς τὸν υἱόν, ἂν ἀγνωμονῇ, οὐκ ἔστιν εἰπεῖν 'οὐ γέγονας αὐτὸς γέρων;'

book 8.1 φυσικόν γε

book 8.2 τοῦθ'· ἕκαστος ἐν

book 8.3 ταῖς ἀτυχίαις ἥδιστα

book 8.4 πρὸς

book 8.5 τοὺς ὁμοπαθεῖς ὀδύρεται.

book 9.1 οὐδέποτ' ἀθυμεῖν τὸν κακῶς

book 9.2 πράττοντα δεῖ, ἄνδρες, τὰ βελτίω δὲ προσδοκᾶν ἀεί.

book 10.1 ταχύ γε

book 10.2 στρατιώτης γέγονας ἀντ' ἐλευθέρου.

book 11.1

οὐ δεῖ λέγειν γὰρ μακάριον τὸν

book 11.2 χρήματα ἔχοντα

book 11.3 πλεῖστα, τὸν δὲ μὴ λυπούμενον.

book 12.1 σχιστὸν

book 12.2 χιτωνίσκον

book 12.3 τιν’ ἐνδέδυκας;

book 13.1 δεῖ τὸν ἀκροατὴν καὶ συνετὸν ὄντως κριτὴν

book 13.2 πρὸ τῶν λεγομένων τὸν βίον διασκοπεῖν, ποῖός

book 13.3 τις ὁ λέγων καὶ πόθεν, καὶ τὴν ἀκμὴν ἐκ

book 13.4 παιδὸς αὐτοῦ πρὸς τί καταθέμενος.[ln_5]αὐτοῦ προδότης κακός

book 13.5 τε τῆς ὥρας φύλαξ· μάλισθ’ ὁ τοιοῦτος ἀνατρέπει πᾶσαν πόλιν. οὐδὲν γὰρ αἰσχρόν ἐστιν αὐτὸν ἀποτυχεῖν. πράττουσι πάντα· τὴν γὰρ αἰσχύνην πάλαι πᾶσαν ἀπολωλέκασι καθ’ ἑτέρας θύρας.

book 13.1 [ln_10]ὅθεν ἐπιχειρεῖ πάντ’ ἀπηρυθριακότως ἕκαστος αὐτῶν, πρὸς δὲ πάντ’ ἐστὶν θρασύς, ψεύδετ’, ἐπιορκεῖ, μαρτυρεῖ, δικορραφεῖ, κλέπτει, τελωνεῖ, ῥᾳδιουργεῖ· τὸ δὲ πέρας, οὐ πόλιν ὅλην

book 13.2 φυλὴν δὲ μαλακὸς ἀνατρέπει·[ln_15]ἐπεὶ κατὰ μέρος τὰς πόλεις, ὦ φίλε, θεῶ, ὑπὸ Λαισποδιῶν γάρ εἰσιν ἀνατετραμμέναι, σκόπει· νεῶν δὲ κατάλογον δόξεις μ’ ἐρεῖν.

book 14.1 εἰς οἰκίαν ὅταν

book 14.2 τις εἰσίῃ φίλου, ἔστιν θεωρεῖν, Νικοφῶν, τὴν

book 14.3 τοῦ φίλου εὔνοιαν εὐθὺς εἰσιόντα τὰς θύρας. ὁ θυρωρὸς ἱλαρὸς

book 14.4 πρῶτόν ἐστιν, ἡ κύων[ln_5]ἔσηνε καὶ προσῆλθ’, ὑπαντήσας δέ τις δίφρον εὐθέως ἔθηκε, κἂν μηδεὶς λέγῃ μηδέν.

book 15.1 μισῶ τύχην

book 15.2 συνοῦσαν ἀτυχεῖ σώματι· ὅστις γὰρ εὐπορῶν, παρὸν ζῆν ἡδέως, κακῶς διάγει, τί ἄν

book 15.3 τις ἄλλ’ ἢ τῇ τύχῃ μέμφοιτο, διότι δυστυχεῖ συνδυστυχεῖ.

book 16.1 οὐκ οἶδ’ ὅτῳ πέποιθας· ἀργυρίῳ, πάτερ; ὃ καιρὸς ὁ τυχὼν

book 16.2 τοῖς μὲν οὐ κεκτημένοις ἔδωκε, τῶν κεκτημένων δ’ ἀφείλετο;

book 17.1 χαλεπὸν τύχη ’στὶ πρᾶγμα, χαλεπόν· ἀλλὰ δεῖ αὐτὴν φέρειν κατὰ τρόπον ὥσπερ

book 17.2 φορτίον.

book 18 χρόνον γὰρ εἰς τὰ πράγματ’ ἂν λάβῃς, ἅπαντα λήξει καὶ κατασταλήσεται.

book 19 μάστιγος οὔσης ὅρκον οἰκέτῃ δίδως;

book 20 ἐργοδοτῶν

book 21 μέλασμα

book 22 ῥάξαι

book 23 συντύχημα

book 26.1 ἐγὼ γὰρ (ἔγωγ’ ἂν Mein.) οὐ τὸν

book 26.2 πλοῦτον ἴδοιμι ὅσος ἐστίν, ἀλλ’ ὅστις αὐτὸν κέκτηται, εἰ ὑπέρτερός ἐστιν ὧν ἔχει.

Eulogikon public reading copy · View original HTML at eulogikon.org